www.tezaurliturgic.ro

# TEZAUR LITURGIC

## 14 IUNIE

## IEREMIA PATITA

# SLUJBA SF.CUVIOS NIFON DE LA KAVSOKALIVIA-ATHOS

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 14 Ἰουνίου

# Ἀκολουθία Ὁσίου ΝΗΦΩΝΟΣ τοῦ Καυσοκαλυβίτου

## Ποίημα Ἱερεμίου τοῦ Πατητᾶ

[1. Ποίημα Ἱερεμίου τοῦ Πατητᾶ. Ἐκ τοῦ βιβλίου: Χαῖρε Ὅσιε Νήφων Καυσοκαλυβίτα· Ἔκδοσις Ἱερᾶς Μονῆς Κοιμήσεως Θεοτόκου Κυπαρισσιωτίσσης καὶ Ἁγίου Ἱεροθέου Μεγάρων· Ἀθῆναι, 2007.
2. Προσετέθη εἰς τὸν Ὄρθρον καὶ δεύτερος κανῶν, ποίημα Χαρίτωνος Πνευματικοῦ τοῦ Ἁγιορείτου, ἐκ τοῦ βιβλίου: Παταπίου ἱερομονάχου· Χαρίτων ὁ Πνευματικός [1836-1906]. Βίος καὶ ἔργα. Θεσσαλονίκη 2003]

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐγκρατείας ὑπόδειγμα, ἀνεδείχθης θαυμάσιε, Νήφων τρισμακάριστε καὶ ἀσκήσεως, ὑπογραμμὸς ταπεινώσεως, στῦλος ἐπαιρόμενος, ἀπὸ γῆς πρὸς οὐρανόν, καὶ ἁγνείας συνόμιλος, ἡσυχίας τε, ἀληθοῦς ὄντως φύλαξ καὶ ἀνδρείας, στήλη ἔμψυχος κανών τε, πρὸς ἀρετὴν ἀκριβέστατος.

Θεωρίας τῆς κρείττονος, ἐπιβὰς Νήφων Ὅσιε, τὰ γεώδη ἅπαντα καὶ ἐπίκηρα, καὶ περιὼν ἐν τῷ σώματι, παρεῖδες καὶ ἄϋλον, πολιτείαν ἐπὶ γῆς, ἐπεσπάσω δοξάζων Χριστόν, Ὅν ἱκέτευε, σὺν Μαξίμῳ καλύβας

πυρπολοῦντι, τῷ συσκητιώτῃ σου παμμάκαρ, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Τὴν ψυχὴν καὶ τὸ σῶμά σου, ταῖς ἐνθέοις ἐπτέρωσας, ἀρεταῖς πανάριστε καὶ συνόμιλος, τῶν Ἀσωμάτων γεγένησαι, γηΐνων ἀμέτοχος, ἐνδεικνύμενος τερπνῶν, διὰ πόθον τοῦ Κτίστου σου, Ὅν ἱκέτευε, σὺν Μαξίμῳ, τῷ θείῳ Νήφων μάκαρ, τῷ συσκητιώτῃ σου φιλτάτῳ, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Δαψιλῶς ἐπαινέσωμεν, τὸν πανόσιον Νήφωνα, καὶ ὑποφήτην σήμερον, Ἐλισσαῖον τε· ὑπακοῆς ὑποδείγματα, λυχνίας τῆς πίστεως, ἰαμάτων τοὺς κρουνούς, ἕναν μὲν πρὸ τῆς χάριτος, ἄλλον ἔπειτα, τῆς Κυρίου ἐλεύσεως ἐν κόσμῳ, θαυμαστοὺς γὰρ ἀμφοτέρους, καὶ πρεσβευτὰς πρὸς τὸν Κύριον.

Δόξα. Ἦχος πλ. δ΄.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητὴν σὲ τιμῶμεν, πατὴρ ἡμῶν Νήφων· διὰ γὰρ σου τὴν τρίβον, τὴν ὄντως εὐθείαν πορεύεσθαι ἔγνωμεν· μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν. Ἀγγέλων συνόμιλε, Μαξίμου συμμέτοχε τοῦ ἐν Ἄθῳ, μεθ’ ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι...

Ἀπόστιχα. Οἶκος τοῦ Εὐφραθᾶ.

Δεῦτε τῶν μοναστῶν, χορεῖαι κατ’ ἀξίαν, ἐν ἄσμασιν ἐνθέοις, τιμήσωμεν αἰσίως, Μάξιμος σὺν τῷ Νηφώνι.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Δένδρον δαυϊτικῶς, ἐν ταῖς αὐλαῖς Κυρίου, κατάκαρπον ὑπάρχον, ἐξήνθησας ὡραίως, ὦ Νήφων παμμακάριστε.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὗρες ἐν οὐρανῷ, τὰς ἀμοιβὰς τῶν πόνων, τῶν ἀρετῶν σου πάτερ, καὶ νῦν συνεπαγάλλει, τοῖς τῶν Ὁσίων τάγμασι.

Δόξα. Ὅμοιον.

Χαίροις ὦ ξυνωρίς, πανόλβιε καὶ θεία, χαρὰν γὰρ ἐκπληρώσω, τὴν ἄφραστον καὶ θείαν, Μάξιμε σὺν τῷ Νήφωνι.

Καὶ νῦν. Θεοτοκίον.

Σκέπη Χριστιανῶν, Ὑπέραγνε Παρθένε, μὴ παύσῃ δυσωποῦσα, μετὰ τῶν Σῶν Ὁσίων, ὑπὲρ ἀχρείων δούλων Σου.

Ἀπολυτίκιον. Ἦχος δ᾽. Ταχὺ προκατάλαβε.

Παθῶν κατεδούλωσας, σαρκὸς τὸ φρόνημα σύ, τὸ χεῖρον ὑπέταξας, πάτερ τῷ κρείττονι, ὦ Νήφων θεσπέσιε· ἔθραυσας τῶν δαιμόνων τὴν ὀφρὺν ἐν ἀσκήσει, ἔλλαμψας ἐν τῷ Ἄθῳ, ὥσπερ ἥλιος ἄλλος, τὴν κτίσιν πᾶσαν δαδουχῶν ξένως τοῖς ἔργοις σου.

Θεοτοκίον. Τὸ ἀπ’ αἰῶνος ἀπόκρυφον,…

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν, ἡ συνήθης στιχολογία· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια. Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασι.

Ποῖον ὑμνῳδιῶν ἔπαινον, προσενέγκωμεν τῷ θεοφόρῳ; τῷ ὑπερφυῶς ἐξασκήσαντι, καὶ ἀγγελικῶς διαλάμψαντι; θεωρίᾳ τε κατ᾽ ἄμφω καὶ τῇ πράξει; τῷ λύχνῳ, τῷ διαυγῇ τῆς διακρίσεως; τῇ στάθμῃ, τῶν ἀρετῶν τῇ μεγαλόφρονι; τῷ πολιστῇ τῆς ἐρήμου, καὶ σὺν Ἀγγέλοις, παῤῥησίαν νῦν πρὸς Χριστοῦ, αἰτοῦντι πᾶσιν ἡμῖν δοθῆναι τὸ μέγα ἔλεος. [Δίς].

Ποίοις πνευματικοῖς ἄνθεσι, καταστέψωμεν νῦν σὲ τρισμάκαρ; Τὸν αἰθεροδρόμον καὶ ἄϋλον, καὶ μετὰ σαρκὸς ὑπεράσαρκον, διὰ βίου τε ἀναφανέντα; τὸν οἶκον, τῶν ἀρετῶν τὸν ἐκπληρέστατον; τὸ νέκταρ, τὸ διειδὲς τῆς κατανύξεως; τὸν τῆς ἁγνείας κρατῆρα, χαρισμάτων θείων, τὸν τοῦ Πνεύματος θησαυρόν, ἐξ᾽ οὗ ἀρυόμενοι, κροτοῦμέν σου πανήγυριν. [Δίς].

Ποίοις ἀσκητικοῖς ᾄσασιν, ἐπαινέσωμεν τὸν θεοφόρον; τὸν τῆς ἡσυχίας διδάσκαλον, καὶ τῆς ἐγκρατείας παράδειγμα; τὸ λαμπρὸν τῆς χάριτος δοχεῖον, τὸν πράξει, καὶ θεωρίᾳ καταστράψαντα; τὸ θαῦμα, τῶν ἐν τῷ Ἄθῳ τὸ καινότατον; τὸ ταπεινώσεως βάθος; πρεσβευτὴν τῷ ὄντι, τὸν ἀκοίμητον πρὸς Χριστόν, Νήφωνα τὸν θεῖον, αἰτοῦντα τὸ μέγα ἔλεος.

Δεῦτε χαρμονικοῖς ᾄσμασιν, ἐπαινέσωμεν τὸν θεόφρον, τὸν ἀσκητικοῖς ἀγωνίσμασι, καί μοναδικοῖς

τοῖς παλαίσμασι, τὸν ἀντίπαλον καταβαλόντα· τὸ κλέος τῶν Ἱερέων καὶ τὸ καύχημα, τὸν στύλον, τὸν ἀῤῥαγῆ καὶ ἀδιάσειστον· τὸν ὀλετῆρα δαιμόνων, καὶ παθῶν διώκτην, τὸν θερμὸν ἐραστήν, Χριστοῦ τοῦ παρέχοντος, ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος β'.

Ὅσιε Πάτερ, ἐκ βρέφους τὴν ἀρετὴν ἐξασκήσας ἐπιμελῶς, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος, καὶ παρ' Αὐτοῦ λαβὼν τὰ θεῖα χαρίσματα, ἔπεισας τοὺς ἀνθρώπους καταφρονεῖν τῶν ἡδέων· νῦν τῷ θείῳ φωτί, καθαρώτερον ἐλλαμπόμενος, φώτισον καὶ ἡμῶν τὰς διανοίας, Πάτερ Νήφων θεσπέσιε.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος, οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καὶ παρθένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν ἥλιος· ἀντὶ Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (γ΄1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ

γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (ε΄15-23,στ΄1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες

ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (δ´ 7-15).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι

χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Ἀνάστηθι ἡ σεβασμία τῶν Ἱερέων χορεία, τιμῆσαι τὸν ὁμότροπον. Ἐγέρθητι καὶ τῶν μοναστῶν ἡ πάντιμος συνοδεία, ὑμνῆσαι τὸν μονότροπον. Δεῦρο στῆθι καὶ τῶν Ἀσωμάτων ἡ οὐράνιος σύναξις, αἰνέσαι τὸν ἰσάγγελον. Ἀγάλλου δὲ καὶ χόρευε, ἅπασα ἡ Ἐκκλησία, ἑορτάζουσα Νήφωνα τὸν ἀρετώνυμον. Καὶ πάντες ὁμοῦ, ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, Χριστῷ ἐκβοήσωμεν. Ἵλαθι μόνε ἡμῖν Εὐδιάλακτε, λιταῖς τοῦ μυστολέκτου Σου, ὡς μόνος πολυέλεος.

Ἦχος β΄.

Τῶν ἐν βίῳ πραγμάτων, κατεφρόνησας Νήφων Πατὴρ ἡμῶν, ὅτι τὴν ἄνω πολιτείαν ἐπεπόθησας· πλοῦτον ἐβδελύξω, ἐνδυσάμενος ταπείνωσιν, τρυφὴν ἐμίσησας, καὶ ἀπεσπάσω τὴν ἐγκράτειαν, ἀδικίαν ἀπεβάλου, καὶ ἐδίωξας δικαιοσύνην· διὸ Πάτερ Ὅσιε, μνημόνευε καὶ ἡμῶν, ἐν ταῖς ὁσίαις εὐχαῖς σου πρὸς Κύριον.

Ἦχος γ΄.

Ἀφιερωθεὶς τῷ Θεῷ ἐκ πρώτης, ὡς ἄλλος Σαμουήλ, Νήφων πατὴρ ἡμῶν, φερωνύμως γέγονας νηφάλιος, νουνεχής, μοναζόντων εὐκοσμία καὶ εὐπρέπεια, τοῦ Ἁγίου Πνεύματος καθαρὸν οἰκητήριον· αἴτησαι ἡμῖν τοῖς τιμῶσί σε, μετὰ Μαξίμου τὸ μέγα ἔλεος.

Ἦχος πλ. δ'.

Εὐφραίνου Ἄθως, ὁ ἐξανθήσας τοιοῦτον πολιοῦχον, τὸν θαυμασιώτατον Νήφωνα· οὗτος γὰρ τῇ σοφίᾳ τοῦ Ἁγίου Πνεύματος, καταγλαϊσθείς, πᾶσαν ἄσκησιν τῇ ἐναρέτῳ πολιτεία αὐτοῦ ὑπερηκόντισεν· αὐτὸν καὶ ἡμεῖς μεσίτην προσάγοντες, αἰτοῦμεν δυσωπεῖν τῷ Χριστῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. α'.

Ὅσιε Πάτερ, οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου νυσταγμόν, ἕως οὗ τὴν ψυχὴν καὶ τὸ σῶμα τῶν παθῶν ἠλευθέρωσας, καὶ σεαυτὸν ἡτοίμασας τοῦ Πνεύματος καταγώγιον· ἐλθὼν γὰρ ὁ Χριστὸς σὺν τῷ Πατρὶ, μονὴν παρὰ σοὶ ἐποιήσατο· καὶ τῆς ὁμοουσίου Τριάδος θεράπων γενόμενος, Νήφων φυτὸν τοῦ Ἄθω κατάκομον, μετὰ τοῦ σοῦ συσκήνου καὶ ὁμοψύχου Μαξίμου, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε,...

Εἰς τὸν Στίχον, Στιχηρά Προσόμοια. Ἦχος δ'. Ὡς γενναίον ἐν Μάρτυσιν.

Ἐγκρατείας ὑπόδειγμα, ἀνεδείχθης θαυμάσιε, Νήφων τρισμακάριστε καὶ ἀσκήσεως, ὑπογραμμὸς ταπεινώσεως, στύλος ἐπαιρόμενος, ἀπὸ γῆς πρὸς οὐρανόν, καὶ ἁγνείας συνόμιλος, ἡσυχίας τε, ἀληθοῦς ὄντως φύλαξ καὶ ἀνδρείας, στήλη ἔμψυχος κανών τε, πρὸς ἀρετὴν ἀκριβέστατος.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Θεωρίας τῆς κρείττονος, ἐπιβὰς Νήφων Ὅσιε, τὰ γεώδη ἅπαντα καὶ ἐπίκηρα, καὶ περιὼν ἐν τῷ σώματι, παρεῖδες καὶ ἄϋλον, πολιτείαν ἐπὶ γῆς, ἐπεσπάσω δοξάζων Χριστόν, Ὅν ἱκέτευε, σὺν Μαξίμῳ καλύβας πυρπολοῦντι, τῷ συσκήνῳ σου παμμάκαρ, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Τὴν ψυχὴν καὶ τὸ σῶμά σου, ταῖς ἐνθέοις ἐπτέρωσας, ἀρεταῖς πανάριστε καὶ συνόμιλος, τῶν Ἀσωμάτων γεγένησαι, γηΐνων ἀμέτοχος, ἐνδεικνύμενος τερπνῶν, διὰ πόθον τοῦ Κτίστου σου, Ὅν ἱκέτευε, σὺν Μαξίμῳ τῷ θείω Νήφων μάκαρ, τῷ συσκήνῳ σου φιλτάτῳ, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Δόξα. Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ ὁ ἁγιώνυμος Ἄθως, τὸ ἐνδιαίτημα τῶν Ἁγίων· ἰδοὺ γὰρ ἐν τῇ ἀκρωρείᾳ σου, ἐξήνθησε φυτὸν ἀμάραντον καὶ ἀείζωον, ὁ τρισόσιος Πατὴρ ἡμῶν Νήφων, καὶ ἐπλήρωσεν εὐωδίας πνευματικῆς πᾶσαν τὴν περίοικον, ἐξανατείλας τὴν τοῦ Πνεύματος, ζωηρὰν παγκαρπίαν. Διὸ καὶ ἡμεῖς τὰ τέκνα αὐτοῦ, συναχθέντες ἐπὶ τὸ αὐτό, πνευματικοῖς ἄσμασι τερπνῶς ἀναβοῶμεν· τούτου πρεσβείαις Κύριε, καὶ πάντων τῶν ἐνταῦθα διαλαμψάντων, φώτισον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τῶν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων, κραταιὰ προστασία, Ἄχραντε Παρθένε σῶσον ἡμᾶς, τοὺς εἰς Σὲ καταγεύγοντας, ὅτι ἐν Σοὶ τὰς ἐλπίδας μετὰ Θεὸν Θεοτόκε ἀνεθέμεθα.

Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Παθῶν κατεδούλωσας, σαρκὸς τὸ φρόνημα σύ, τὸ χεῖρον ὑπέταξας, πάτερ τῷ κρείττονι, ὦ Νήφων θεσπέσιε· ἔθραυσας τῶν δαιμόνων, τὴν ὀφρὺν ἐν ἀσκήσει, ἔλλαμψας ἐν τῷ Ἄθῳ, ὥσπερ ἥλιος ἄλλος, τὴν κτίσιν πᾶσαν δαδουχῶν ξένως τοῖς ἔργοις σου.

Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, ...

## ΟΡΘΡΟΣ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν συνάναρχον Λόγον.

Τὸν ἀσκητὴν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν, ὡς νεκρώσαντα πάσας τὰς προσβολὰς τῶν παθῶν, δι' ἐγκρατείας καὶ στεῤῥᾶς, ὑπομονῆς ὡς ἀληθῶς, καὶ καταισχύναντα σφοδρῶς, τὸν ἀντίπαλον ἐχθρόν, καὶ πάσας τούτου ἐπάρσεις, καὶ νῦν πρεσβεύοντα τῷ Κυρίῳ, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Δόξα. Ὅμοιον.

Τοῦ Ὁσίου Ποιμένος φωνὴν θεόφθογγον, πρὸς τοὺς πατέρας ἐρήμου, ἀκολουθήσας πιστῶς, οὐ

δεόμεθα τινὸς ποτὲ ὡς ἔλεγε, εἰ μὴ καρδίας ἀδελφοί, τῆς νηφούσης ἐν Χριστῷ, καὶ ῥῆσιν πρᾶξιν ποιήσας, σὺ προσηύχου ἀδιαλείπτως, καὶ ηὐχαρίστης ἐν παντὶ τῷ Θεῷ.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄφραστος τρόπος ὁ τῆς κυήσεως, ἐν Σοὶ ἐγνώσθη ἀληθῶς, ὦ Ἀειπάρθενε· καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμόν, ἡ δόξα Σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετά τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.

Νεκρώσας τῆς σαρκός, τὰ ἀκάθεκτα πάθη, ἐθέωσας τὸν νοῦν, τρισμακάριστε Νήφων, ζωὴν τὴν ἀδιάδοχον, καὶ τὸν στέφανον εἴληφας· ὅθεν σήμερον τῶν Μοναζόντων χορεῖαι, ἑορτάζουσι, τὴν ἀξιόθεον μνήμην, τοῦ Ἄθω ἀγλάϊσμα.

Δόξα. Ὅμοιον.

Ἀστὴρ ἑωθινός, τῇ παρούσῃ ἡμέρᾳ, ἀνέτειλε πιστοί, ἐξ Ὄρους Ἁγίου, ὁ Νήφων ὁ Ὅσιος, καὶ φωτίζει τὰ πέρατα, φέγγει ἅπασαν, Χριστοῦ νομὴν καὶ πυρσεύει, τῆς ἀσκήσεως καὶ εὐλαβείας τοὺς τρόπους, τοῖς νήψει διάγουσι.

Καὶ νῦν. Θεοτοκίον.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων, Σὺ γὰρ

πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους Σου.

Μετά τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τὸν κόσμον κατέλιπες, Νήφων Πατὴρ ἡμῶν, Σταυρὸν ἀναλαβόμενος ἐπὶ τῶν ὤμων σου, τὸν Ἄθω κατέλαβες, τοῦτον τῆς Θεοτόκου, τὸν πανάγιον κλῆρον, ἔνθα ἐγκαρτέρησας, ἐπὶ ἔτεσι πλείστοις, εἴληφας τοῦ βραβείου τῆς ἄνωθεν κλήσεως.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί Σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἄνελε τῷ Σταυρῷ Σου, τοὺς ἡμᾶς πολεμοῦντας, γνώτωσαν πῶς ἰσχύει Ὀρθοδόξων ἡ πίστις, πρεσβείαις τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.

Οἱ Ἀναβαθμοί· τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἦχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Τὶ ἀνταποδώσωμεν τῷ Κυρίῳ...*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου πρεσβείαις...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις...

Ἰδιόμελον. Ἦχος β΄. Στ. *Ἐλεήμον, ἐλέησόν με ὁ Θεός...*

Τῶν ἐν βίῳ πραγμάτων, κατεφρόνησας Νήφων Πατὴρ ἡμῶν, ὅτι τὴν ἄνω πολιτείαν ἐπεπόθησας· πλοῦτον ἐβδελύξω, ἐνδυσάμενος ταπείνωσιν, τρυφὴν ἐμίσησας, καὶ ἐπεσπάσω τὴν ἐγκράτειαν· ἀδικίαν ἀπεβάλου, καὶ ἐδίωξας δικαιοσύνην· διὸ Πατὲρ Ὅσιε, μνημόνευε καὶ ἡμῶν, ἐν ταῖς ὁσίαις εὐχαῖς σου πρὸς Κύριον.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στ΄· καὶ β΄ τοῦ Ἁγίου εἰς η΄.

Ὁ α΄ κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Νήφωνι δῶρον Πατρὶ Ἱερεμίας*. Ἐν δὲ τοῖς Θεοτοκίοις: *Ὁ Πατητᾶς.*

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Νοῦν τῷ Θεῷ καθιέρωσας ἄριστα, τριχὸς ἐκ πρώτης σοφέ, τῆς κοσμικῆς πάσης, καὶ γεώδους σχέσεως, καρτερικῶς ἠλόγησας, Ἰσραὴλ δὲ ὡς νέος, παθὼν τὴν Αἴγυπτον ἔφυγες, καὶ τὴν τῶν πραέων γῆν ἔφθασας.

Τὸν ὅν πάλαι φθονερῶς ἐξέμεσε, τοῖς Πρωτοπλάστοις ἐχθρός, σὺ νουνεχῶς Πάτερ, καὶ σοφῶς ἐξέκλινας, καὶ τοῦ Χριστοῦ τοῖς ἴχνεσι, τὸν σταυρόν σου ἐπ᾿ ὤμων, ἀράμενος ἠκολούθησας, καὶ συνεδοξάσθης αἰώνια.

Φωστὴρ ἐφάνης Ναζηραῖος Ἅγιε, ἐν τῷ Ἄθῳ φαιδρός· τοὺς γὰρ πρὸ σοῦ πάντας, ἀρεταῖς παρήνεγκας, τῶν μετὰ σὲ δὲ γέγονας, ἀκριβὴς

ὑποθήκη, πρὸς τὰ καλὰ καὶ παράκλησις, καὶ κανὼν εὐθὺς καὶ σωτήριος.

Θεοτοκίον.

Οὐδεὶς ἀνθρώπων ἀφικέσθαι δύναται, εἰκότως ὕμνων τῶν Σῶν, τὸ γὰρ ἐν Σοὶ θαῦμα, Ἄγγέλοις θαυμάζουσι, καὶ ἄνθρωποι φορέσαντα, ἐξ ἁγνῶν αἱμάτων Σὲ ἔγνωμεν.

Κανὼν δεύτερος τοῦ Ἁγίου, ποίημα Χαρίτωνος Πνευματικοῦ Ἁγιορείτου, οὗ ἡ Ἀκροστιχὶς: *Νήφωνα θεῖον τῷδε ὑμνῶ αἰνέῳ.* Ἐν δὲ τοῖς Θεοτοκίοις: *Ὁ Χαρίτων.*

ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ναοὺς θείας χάριτος, τοὺς σὴν πανήγυριν ἄγοντας, γενέσθαι δυσώπησον, Χριστὸν τὸν Κύριον, Νήφων Ὅσιε, κἀμὲ τὸν σὸν ἱκέτην, εὐχαῖς σου ἐνίσχυσον, τοῦ ἀναμέλψαι σε.

Ἠπείρου τερπνότατον, ὑπάρχων Ὅσιε βλάστημα, υἱός τε ἐξαίρετος, ἱερουργοῦ εὐλαβοῦς, σκεῦος γέγονας, Θεοῦ ἐκλελεγμένον, Αὐτὸν προελόμενος ἀπὸ νεότητος.

Φωτὸς ἐνδυσάμενος, τὰ θεία ὅπλα πανόλβιε, τοῦ σκότους ἀπέῤῥιψας, τὰ ἔργα τὰ πονηρά, καὶ ἐβάδισας, ὡς ἐν ἡμέρᾳ Πάτερ, σεμνῶς εὐσχημόνως τε τρῖβον τὴν ἔνθεον.

Θεοτοκίον.

Ὁ Λόγος ὁ ἄναρχος, ἀρχὴν Πανάμωμε εἴληφεν, ἐκ Σοῦ σωματούμενος, ἄνευ τροπῆς καὶ φυρμοῦ, καὶ

ἀνήγαγεν, ἡμᾶς εἰς τὴν ἀρχαίαν, πατρίδα δι᾽ ἄμετρον οἶκτον καὶ ἔλεος.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Ὠδύνη ὤν ἐκ μητρικῆς, ἡγιασμένος θεόφρον, πατρικῶς ἀνεγενήθης τῷ Κτίστῃ καὶ οὐράνιον ἐν γῇ, διαγωγὴν κτησάμενος, κλῆρον πλουτεῖς πατρῶον, τῶν Πρωτοτόκων ἐν χάριτι.

Ναμάτων θείας ἐκ Γραφῆς, ταῖς ἀμφοτέραις ἀντλήσας, καὶ καρποὺς ἑκατοστεύοντας μάκαρ, ἐνεγκὼν πνευματικούς, ἐν διεξόδοις ἔστηκας, ἀειθαλὲς ὡς δένδρον, νῦν τῶν ὑδάτων τοῦ Πνεύματος.

Ἴνδαλμα Πάτερ καὶ σκιάν, τὴν κάτω θέμενος δόξαν, μετὰ σώματος ἀπέθου τὸ σῶμα, καὶ τὸν γνόφον διασχών, ὡς Μωϋσῆς τὸν γήϊνον, πλάκας θεόθεν φέρεις, νόμον ἐχούσης τῆς χάριτος.

Θεοτοκίον.

Πεποικιλμένην ἀρετῶν, ἱματισμῷ διαχρύσῳ, τοῦ παντὸς ὁ Ποιητὴς κατιδών Σε, ἐπεθύμησε τοῦ Σοῦ, Δαβιτικῶς Πανάμωμε, κάλλους ἐκ Σῶν αἱμάτων, σάρκα φορέσας ὁ Εὔσπλαγχνος.

Ἕτερος. Τοὺς Σοὺς ὑμνολόγους.

Ὡράθης κοσμούμενος θεόφρον, ποικίλαις ἐνθέοις ἀρεταῖς, καὶ τὰ τοῦ βίου πρόσκαιρα, μισήσας ἐπεπόθησας, κάλλη τὰ ἐπουράνια, ὡς νουνεχὴς Νήφων ὅσιε.

Νεάζων τὸν κόσμον ἀπηρνήσω, πρὸς βίον δραμὼν δεκαετὴς θεόφρον τῆς ἀσκήσεως, διὸ καὶ θεῖον τέμενος, τοῦ παναγίου Πνεύματος, Νήφων πανεύφημε γέγονας.

Ἀσμάτων καὶ ὕμνων Θεοφόρε, τὰ σὰ πέλει ὄντως ἄξια· Θεὸν γὰρ τοῖς σοῖς μέλεσι, τοῖς ἱεροῖς ἐδόξασας, καὶ Τούτου θύτης γέγονας, καὶ Ἱερεὺς ἐννομώτατος.

Θεοτοκίον.

Χειμάζει με κλύδων ἁμαρτίας, καὶ σάλος ἀτόπων λογισμῶν σπλαγχνίσθητι Πανάμωμε, καὶ χεῖρα βοηθείας μοι, ὡς συμπαθὴς ἐπέκτεινον, ὅπως σωθεὶς μεγαλύνω Σε.

Κάθισμα. Ἦχος πλ. α'. Τὸν Συνάναρχον Λόγον.

Ἀποθέμενος πᾶσαν σχέσιν ἐπίγειον, τὸ πολίτευμα δὲ σου εἰς οὐρανοὺς ἐσχηκώς, καθυπέταξας σοφῶς σάρκα τῷ πνεύματι· ὅθεν ἐδόξασε Χριστός, μετ' Ἀγγέλων σε φαιδρῶν, καὶ γῆν σοι τὴν τῶν πραέων, ἀναφαίρετον ὥσπερ κλῆρον, Νήφων δωρεῖται πᾶσι νέμων ζωήν.

Δόξα.

Ἐνωτίσω τὸν λόγον, Σωτῆρος Ὅσιε, γρηγορεῖτε ὡς εἶπε, πάντες προσεύχεσθε, ἐν καρδίᾳ νουνεχῶς, τοῦτον προσέλαβες, εἰς πειρασμὸν μὴ εἰσελθῶν, τῇ εὐχῇ τοῦ Ἰησοῦ, ἀπέφυγες πᾶσαν πλάνην, καὶ ἐλλάμψεως ἠξιώθης, ἐν τῇ ψυχῇ σου Νήφων ἔνδοξε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς Σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκί, τὸν Ποιητήν Σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν Τόκον Σου.

ᾨδὴ δ΄. Σὺ μοὺ ἰσχὺς Κύριε.

Δύο ἡμῖν, ἄνωθεν ἀστέρας ἔδειξεν, ἐν τῷ Ἄθῳ φαιδρῶς διαλάμποντας, ὁ νοητὸς ἥλιος Χριστός· Μάξιμον τὸν μέγαν, καλύβας τὸν πυρπολήσαντα, καὶ Νήφωνα τὸν θεῖον, τῷ μὲν σώματι δύντας, ἀπαστράψαντας δὲ τηλαυγέσστερον.

Ὥσπερ τρυγών, φεύγουσαν Πάτερ φιλήσυχος, συναυλίαν οὕτω διετέλεσας, ἐρημικῶς ζῶν ἐν τῷ Χριστῷ, ξένην νοσσιὰν δὲ τὰ θεῖα εὗρες σκηνώματα, ἐν οἷς τῆς σωφροσύνης, τὰ νοσσία κατέθου, καὶ τὰς θείας ἀπέλαβες χάριτας.

Ῥήξας δεσμούς, σχέσεως γηΐνης ἅπαντας, πρὸς τὴν ἄνω τρέχεις καρτερώτατα, ὅλῳ ποδὶ Ἱερουσαλήμ, καὶ πρὸς τὸ βραβεῖον, τῆς ἄνω κλήσεως Ὅσιε, διὸ καὶ συναγάλλῃ, μετὰ πάντων τῶν Ὁσίων, εὐφροσύνης τῆς θείας πληρούμενος.

Θεοτοκίον.

Ἅπας ἐν Σοί, φύσεως νόμος κατήργηται, τῆς γὰρ παρθενίας, ὁ ἐκ Σοῦ ἀνατείλας Χριστός, κλεῖς μὴ διασχών, ἐκ τῆς Σῆς προῆλθε γαστρός, τηρήσας Σε

ἄφθορον, Ἁγνὴ καὶ μετὰ τόκον, εἰς πάντων σωτηρίον, τῶν βροτῶν ἀληθῶς Θεονύμφευτε.

Ἕτερος. Ὁ καθήμενος ἐν δόξῃ.

Θεῖον ἔρωτα θεόφρον, ἐν ψυχῇ σου δεξάμενος, διὰ τῆς μελέτης, τῶν θείων Γραφῶν πόθῳ ἔδραμες, εἰς τὸ θεῖον Ὄρος Νήφων τὸ τοῦ Ἄθωνος, καὶ κατῴκησας, τοῦ Ὁσίου Πέτρου τὸ σκήνωμα.

Ἐνδιαίτημα ὑπάρχων, ταπεινώσεως Ὅσιε, προσελθὼν προθύμως, ἐν ὑπακοῇ σαυτὸν δέδωκας, Ἱερωσύνης σου κρύψας τὸ ἀξίωμα, καὶ τὸ μέγεθος, τῆς ἀρετῆς Νήφων πάνσοφε.

Ἵνα πόθον σου τὸν θεῖον ἐπαύξησης εἰσέδραμες, εἰς τῆς ἡσυχίας τὸ σεπτὸν σοφὲ ἐργαστήριον, τῆς ἑβδομάδος δὲ ἅπαξ σιτιζόμενος, ἐπεπλήθυνας, τὴν ἐκῤῥοὴν τῶν δακρύων σου.

Θεοτοκίον.

Ἀποῤῥήτως Θεοτόκε, προελθὼν ὁ Ὑπέρθεος, ἐκ τῆς Σῆς νηδύος Θεὸς σαρκοφόρος ἀνέδειξε, Σὲ τὴν ἄσπορως τεκοῦσαν πάσης κτίσεως, ἀνωτέραν τε καὶ τῶν Χερουβὶμ Θεονύμφευτε.

ᾨδὴ ε΄. Ἵνα τί μὲ ἀπώσω.

Ὀφθαλμοῖς τοῖς σοῖς ὕπνον, οὐδὲ τοῖς βλεφάροις Σου νυσταγμὸν δέδωκας, ἕως οὗ τὸ χεῖρον, καθυπέταξας μάκαρ τῷ κρείττονι, καὶ τῷ ἀκροτάτῳ τῶν ἐφετῶν ἐῤῥύθμισάς σου, τοῦ νόος τὰς κινήσεις λαμπρότατα.

Νηπιῶδες ὡς βέλος, τὰς τοῦ ἀρχεκάκου, προσβολὰς διήλεγξας, καὶ τὸ κατ' εἰκόνα, συντηρήσας ἀλώβητον γέγονας, ἡσυχίας νόμων, ὑφηγητὴς καὶ θεῖος μύστης, καὶ κανὼν ἀρετῆς ἀκριβέστατος.

Τετρωθεὶς ὡς ἱέραξ, ἀρετῶν ὀξυτάταις Ὅσιε πτέρυξι, πονηρῶν πνευμάτων, ὀλεθρίους πτηνοὺς διεσκέδασας καὶ πτεροβολήσας, καὶ διασχὼν παθῶν τὴν σχέσιν, πρὸς οὐράνιον ὕψος ἀνέδραμες.

Θεοτοκίον.

Τῆς ἡμῶν σωτηρίας, τὴν αἰτίαν σωθέντες πάντες δοξάσωμεν, τῇ γὰρ τοῦ Σωτῆρος, ὑπηρέτησας ξένη Θεόνυμφε, Σὺ οἰκονομίᾳ, ἐν Σοὶ γαστρὶ Παρθένε Τοῦτον, ὑπὲρ φύσιν ἀσπόρως βαστάσασα.

Ἕτερος. Ἐξέστη τὰ σύμπαντα.

Ὁ νοῦς σου φλεγόμενος, σεπτῷ τῷ θείῳ ἔρωτι, κάλλει ἐνοπτρίζετο τοῦ Κτίστου· διὸ ἐρήμους Νήφων ἐδίωκες, βοτάνας ἐσθίων τὰς τῆς γῆς· δόξαν δὲ θεώμενος, τοῦ Θεοῦ ἐκορέννυσο.

Νοήμων καὶ πάνσοφος ἐγένου θείᾳ χάριτι· διὸ συμβουλῇ τοῦ προεστῶτος τῆς θεία Λαύρας καθυποκύψας σοφῶς, βοτάνας ἀπώσω τοῦ φαγεῖν, Νήφων τῆς ἐπάρσεως, ταπεινώσας τὸ φρόνημα.

Τὸν Ὅσιον Μάξιμον, σὺ ἀνευρὼν πανεύφημε, σύμψυχος αὐτῷ τε καὶ ὁμόφρων ἐγένου Νήφων, καὶ τὰς αὐτοῦ ἀρετάς, ζηλώσας εἰκότως μιμητής, τούτου ἐχρημάτισας, καὶ τῆς δόξης συμμέτοχος.

Θεοτοκίον.

Ῥητόρων ἡ εὔλαλος γλῶσσα εἰπεῖν οὐ δύναται, τῆς θεοπλαστίας τοῦ Υἱοῦ Σου, τὸ ὑπὲρ φύσιν Κόρη μυστήριον· ἄγνωστον γὰρ μένει ἀληθῶς, καίπερ γινωσκόμενον καὶ λεγόμενον ἄῤῥητον.

Ὠδὴ στʹ. Ἱλάσθητί μοι Σωτήρ.

Ἀνοίξας τοὺς θησαυρούς, τῶν θείων νόμων ἠρεύνησας, τοὺς λίθους τοὺς διαυγεῖς, τοῦ Πνεύματος Ἅγιε, καὶ τούτους κτησάμενος, ἀρετῶν στεφάνους, τῇ ψυχῇ σου περιέπλεξας.

Τῷ ῥήματι τοῦ Θεοῦ, ὡς ἄρτῳ μόνῳ τρεφόμενος, τῆς μὴ μενούσης τροφῆς, γενναίως ἠλόγησας, καὶ τῆς παραβάσεως, τὰς εὐθύνας φεύγεις, ἅς τρυφὴ πάλαι προϋξένησε.

Ῥίψασπις ὥσπερ ὁ πρίν, στεῤῥὸς ὁπλίτης φαινόμενος, ἀποδιδράσκει τρωθείς, εὐχῶν σου τοῖς βέλεσι, καὶ νῶτά σοι δίδωσι, διδαχθεὶς ἐκ πείρας, τοῦ Σταυροῦ ἰσχὺν τὴν ἄμαχον.

Θεοτοκίον.

Ἐλέγχθησαν φυσικοί, Παρθένε νόμοι τῇ χάριτι, τοῦ σαρκωθέντος ἐκ Σοῦ· καὶ ἤρθη ἡ τύραννος βία τοῦ ἀλάστορος, ὅτι εὐλογίαν τοῖς ἀνθρώποις ἀνατέταλκεν.

Ἕτερος. Τὴν θείαν ταύτην.

Ὡράθης νόσους ἰώμενος, θεράπων ὡς Θεοῦ Νήφων Ὅσιε· καὶ γὰρ τοὺς κάμνοντας, σοὺς Μαθητὰς

ἐθεράπευσας, ἐκ τῆς λοιμώδους νόσου καὶ παραλύσεως.

Δεινῷ κινδύνῳ ἐμπέπτωκε, ἀγρεύων Μαθητής σου παρήκοος· ὅθεν τὸ θεῖον σου, ἐπικαλούμενος ὄνομα, ταχέως διεσώθη Νήφων Πατὴρ ἡμῶν.

Ἐμπνεύσει θείᾳ προέβλεπες πόῤῥω καὶ τὰ μέλλοντα Ὅσιε, ὡς καθαρώτατος, καὶ οὐρανόφρων γενόμενος, καὶ παλαιοῖς Πατράσιν ἐναμιλλώμενος.

Θεοτοκίον.

Ἱστὸς Ἁγνὴ θεοΰφαντος, Παρθένε ἐξυφάνθη ταῖς χάρισι τοῦ θείου Πνεύματος, ἐξ ἧς Θεὸς ἐξυφάνατο, ἐκ Σῶν ἁγνῶν αἱμάτων σαρκὸς τὸ πρόσλημμα.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Τῷ ὑπερμάχῳ ἐν δεινοῖς καὶ ἀντιλήπτορι, τῆς μετανοίας τὰς ὁδοὺς πᾶσι γνωρίσαντι, συνελθόντες μοναζόντων ἡ πληθὺς πᾶσα, ἐγκωμίων ἀναπλέξωμεν τὸν στέφανον, καὶ Θεῷ χαριστηρίους ὕμνους ᾄδοντες, ἀνακράξωμεν· Χαίροις Νήφων Πατὴρ ἡμῶν.

Ὁ Οἶκος.

Ἄσαρκος ὥσπερ Πάτερ καὶ ἀσώματος ὤφθης, σὺν ὕλῃ καὶ σαρκὶ καὶ τῇ φύσει· τοὺς γὰρ ὑπερφυεῖς καὶ λαμπροὺς καὶ γενναίους ἄθλους, θεωρῶν Ἅγιε, ἐξίσταμαι, ἐκπλήττομαι, καὶ θαυμάζω, βοῶν σοι ταῦτα·

Χαῖρε, δι' οὗ ὁ Χριστὸς ηὐφράνθη·

χαῖρε, δι' οὗ Σατὰν ἐπλήγη.

Χαῖρε, ἀρετῶν ὑποθήκη καὶ γνώρισμα·
χαῖρε, πολιτείας ἀρίστης διδάσκαλε.
Χαῖρε, ὕψος τὸ ἀκρότατον ἀνελθῶν τῆς πρακτικῆς·
χαῖρε, βάθος δυσανάβατον, θεωρίας κατιδών.
Χαῖρε, ὅτι θαλάσσας τῶν παθῶν ἀπεδύσω·
χαῖρε, ὅτι τὴν δόξαν τοῦ Χριστοῦ ἐνεδύσω.
Χαῖρε, φωστὴρ τοῦ Ἄθω φαιδρότατε·
χαῖρε, ἀστὴρ ἀστέρων λαμπρότατε.
Χαῖρε, δεικνὺς μετανοίας τὰς τρίβους·
χαῖρε, φυγὼν τοὺς τοῦ βίου θορύβους.
Χαῖρε Νήφων Πατὴρ ἡμῶν.

Συναξάριον.

Τῇ ΙΔ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Πατρός ἡμῶν Νήφωνος τοῦ Καυσοκαλυβίτου (+ 1411).

Στίχοι.

*Νήφων παρῆλθεν, ἀρεταῖς νῦν τοὺς πάντες*
*Κἂν τοῖς χρόνοις ἤσκησε νῦν τοῖς ἐσχάτοις.*
*Τετάρτῃ δεκάτῃ ἀπέπτη Νήφων βιότοιο.*

Ἕτεροι (Νικοδήμου).

*Νήφων ὁ Νήφων ἐστιν ἐκ τῶν πραγμάτων·*
*Νήψει νοὸς γὰρ διέδραμε τὸν βίον.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Τύγγων ἐνστάζουσα, ἡ γλῶσσα μέλος ταῖς τῶν ἀνθρώπων ψυχαῖς, πάντας εἷλκε πρὸς γνῶσιν τῶν

μυστηρίων τῶν ἀποκρύφων Θεοῦ, καὶ τῆς σῆς πάντες, ἀγχινοίας ἤρτηντο, τὸ τῶν Πατέρων Θεὸν ὑμνολογοῦντες.

Ἱδρῶτες τῶν πόνων σου, καὶ τῶν ἀγώνων τῶν ὑπὲρ φύσιν σοφέ, ὡς εὐῶδες τῷ Κτίστῃ, καὶ θεῖον μύρον ἀναφανέντες δεκτόν, τὴν βασιλείαν προξενοῦσιν ἔπαθλον, τῶν οὐρανῶν, μετ᾽ Ἀγγέλων καὶ βραβεῖον.

Ἐσίγησαν πρότερον, πνοαὶ ἀνέμων, καὶ ἔστησαν ποταμοί, καὶ ἡλίου ὁ δρόμος ἐσχέθη Πάτερ, ἤ τοῖς βλεφάροις αὐτός, ὕπνον παρέσχες ἕως οὗ τετύχηκας, ὅν ἐκ κοιλίας μητρὸς ἔτρεφες πόθον.

Θεοτοκίον.

Τιτρώσκεται Δέσποινα, ὁ πάλαι τρώσας τὸν ἀρχηγὸν φθονερῶς, πάντων γένους ἀνθρώπων, καὶ κεῖται πτῶμα, τὴν οἰκουμένην ὁ πρίν, ὁ κομπάζων πᾶσαν καταλήψεσθαι, ὡς νοσσίαν τῇ χειρί, κακίας ἀρχηγέτης.

Ἕτερος. Οὐκ ἐλάτρευσαν.

Ὑπερέβης τοὺς θεσμοὺς Πάτερ τῆς φύσεως, τῇ ἰσαγγέλῳ σου καὶ οὐρανίῳ ζωῇ, διὸ τὰ παράδοξα, τελεῖν θαυμάσια, κατηξίωσαι καὶ προορᾷν τὰ πόῤῥωθεν, καὶ τὰ μέλλοντα προλέγειν.

Μετὰ πίστεως καὶ εὐλαβείας ἔλαιον, τό σοί πεμπόμενον, τετήρηται ἀβλαβές, δεινῶς ὀλισθήσαντος, τοῦ προσκομίζοντος, εἰ καὶ ἅπαντα, τὰ σκεύη συνετρίβησαν, τοῦτο μόνον διεσώθη.

Νέου πρόοδον, πρὸς ἀρετὴν προείρηκας καὶ τὸν κακούμενον, κεφαλαλγία δεινὴ εὐχή σου ἰάτρευσας, Νήφων μακάριε· καὶ πλανώμενον, τῇ φαντασίᾳ δαίμονος ἐπανήγαγες ὡσαύτως.

Θεοτοκίον.

Τοῦ θανάτου, νεμομένην ῥύμην ἔστησας, Σεμνὴ τῷ τόκῳ Σου, τοὺς δὲ βροτοὺς πρὸς ζωήν, Παρθένε ἀνήγαγες, τῷ Κτίστῃ μέλποντας· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ῥαστώνης θείας ἔτυχες, τὴν στενὴν ἀνερχόμενος, καὶ δυσχερεστάτην, βασιλείας ἄνοδον, καὶ φθάσας μακάριε, τὴν κορυφὴν τὴν τῶν ἀρετῶν, τὸν Δημιουργὸν ἐστηριγμένον εὑρίσκεις, βοῶν σὺν παῤῥησίᾳ· Ἱερεῖς εὐλογεῖτε, λαοὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἐν τῇ καρδίᾳ θέμενος, ἀναβάσεις μακάριε, καὶ τῷ Ποιητῇ διὰ παντὸς ἑνούμενος, ἀνῆλθες ἐκ πράξεως, εἰς θεωρίαν πνευματικῶς, καὶ τῷ ἀκροτάτῳ ἐφετῶν ἐντυγχάνεις, βοῶν σὺν παῤῥησίᾳ· Ἱερεῖς εὐλογεῖτε, λαοὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Μίαν φροντίδα θέμενος, ἐν ψυχῇ, τὴν ἀνάγουσαν, πρὸς τὸν κατελθόντα, δι' ἡμᾶς χρηστότητι, τῶν ἄλλων ἠλόγησας, ὡς μὴ μενόντων καὶ φθαρτῶν, καὶ μετὰ τῆς ὕλης, συναπέθου τὴν ὕλην, βοῶν σὺν παῤῥησίᾳ· Ἱερεῖς εὐλογεῖτε, λαοὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἄκουε γῆ οὐράνιον καὶ καινότατον ἄκουσμα, τὴν τοῦ ἀρχεκάκου, πρὶν βουλὴν ἐδέξατο, γυνὴ καὶ εἰσήγαγε, τὴν πρώτην ἐν ἀνθρώποις ἀράν· ἀλλ' ἡ Θεοτόκος, τὴν ἀρὰν ἐκφυγοῦσα, καὶ μείνασα Παρθένος, ὢ μυστηρίου ξένου, τοῦ ἐκτετελεσμένου.

Ἕτερος. Παῖδας εὐαγεῖς.

Ὤράθης ὡς φοῖνιξ ἠνθισμένος καὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνόμενος, καὶ ὡς δένδρον Ὅσιε θαλλερόν, κατακαρπόν, ταῖς ἀρεταῖς καὶ λόγοις σου, καὶ θείοις θαύμασι, σκιάζων καὶ εὐφραίνων ἐν Ἄθῳ, τοὺς σοὶ προσιόντας, ἐν πίστει Νήφων Πάτερ.

Δεινῶς πληγωθεὶς τυφθεὶς τὸν πόδα, ὁ πίστει πρὸς σὲ φοιτῶν θεῖος Θεόδουλος, ἔξαιμος ἐγένετο· ὅθεν σου τὸ ὄνομα προσεπικαλεσάμενος τὸ θεῖον Ὅσιε ἰάθη παραχρῆμα δοξάζων, τὸν δεδοξασμένον Θεὸν ἐν τοῖς Ἁγίοις.

Ἰάσω τὴν λύπην προβιβάσας, τῆς Λαύρας τὴν προεδρείαν τῷ τοὺς γνώμονας, Ὅσιε κατέχοντι, ἐκδιωκομένῳ τε καὶ τὴν ἀπελευθέρωσιν ἄλλων ἐδήλωσας· ὡσαύτως καὶ προγνώσεις ἑτέρας, προειπὼν τι Νήφων ἐδείχθης θεοτρόπος.

Θεοτοκίον.

Ὤράθης Ἀγγέλων ὑπέρτερα, Θεὸν ἀποῤῥήτως σωματώσασα· Τοῦτον οὖν ἱκέτευε, Δέσποινα πανάμωμε, δεινῆς ἡμᾶς κολάσεως ἀπολυτρώσασθαι,

καὶ δόξης τῆς ἄφθαρτου καὶ θείας, ὡς μόνος ἐλεήμων μετόχους ἀνάδειξαι.

ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἱκέτης πρὸς τὸν Κτίστην ὑπὲρ ἡμῶν, οὕς ἐνταῦθα ἐφίλεις φιλούμενος, Πάτερ γενοῦ, ἕπεσθαι σοῖς ἴχνεσιν ἀξιῶν, καὶ τῆς μακαριότητος, ὄντως συμμετέχων ἐν οὐρανοῖς, ἧς ἀπολαύεις χαίρων, μετὰ τῶν Ἀσωμάτων, οὕς ἐμιμήσω μετὰ σώματος.

Αὐξήσας οἰκονόμος ὡς ἀγαθός, τὸ δοθὲν ἐκ Κυρίου σοι τάλαντον, Πάτερ σοφῶς, νῦν ἐπὶ πλειόνων ἐν οὐρανοῖς, τῶν ἀγαθῶν ἠξίωσας, εἰς τὴν ἀκατάληπτον εἰσελθὼν χαρὰν καὶ μακαρίαν, ἀλήκτους εἰς αἰῶνας, μετὰ Ἀγγέλων εὐφραινόμενος.

Σταλάζων ἐκ χειλέων σου γλυκασμόν, εὐφροσύνης ἁγίας καὶ χάριτος πνευματικῆς, πάντων κατεβάκχευες τὰς ψυχὰς καὶ τῶν γηΐνων ἔπειθες, Πάτερ ἐπαινίστασθαι καὶ φθαρτῶν, καὶ ὅλους οὐρανίους ἐποίεις παραδόξως, ὑπογραμμὸς αὐτοῖς προκείμενος.

Θεοτοκίον.

Σταλάζετε τὰ ὄρη νῦν γλυκασμόν, ποταμοὶ σὺν θαλάσσαις κροτήσατε, ὅτι Θεός, ἄνθρωπος γενόμενος καθ' ἡμᾶς, ἐν μήτρᾳ Κόρης ᾤκησεν, ἄνευ μὲν θελήματος ἀνδρικοῦ· ἐφύλαξε δὲ ταύτην, Ἁγνὴν καὶ μετὰ τόκον, ἥν ἐπαξίως μεγαλύνομεν.

Ἕτερος. Ἅπας γηγενής.

Νήφων θεωρέ, βουλῶν τοῦ Θεοῦ ἡμῶν καὶ γὰρ προέγνωκας, τὴν τοῦ ὁμοψύχου σου, καὶ μακαρίου Μαξίμου κοίμησιν· διὸ παραγενόμενος ἐκείνῳ δέδωκας, τελευταῖον, ἀσπασμόν σου Ὅσιε πρὸς Θεόν, Ὅν ἐπόθει ἀπαίροντι.

Ἔξοδον τὴν σήν, προέγνως σαφέστατα, Νήφων ἀοίδιμε. Ὅθεν καὶ τὸν τάφον σου εὐτρεπισθῆναι Πάτερ προσέταξας καὶ δεηθεὶς ἀνέδραμες, πρὸς τὸν ποθούμενον σου Δεσπότην· Ὅν δυσώπει τεύξασθαι, καὶ ἡμᾶς τῆς Αὐτοῦ παραστάσεως.

Ὡς νῦν τῷ Χριστῷ, ἐγγίζων τρανότερον, καὶ καθαρώτερον, μέμνησο τῶν πίστει σου μνημονευόντων Νήφων Πατὴρ ἡμῶν, ἁμαρτιῶν συγχώρησιν ἡμῖν αἰτούμενος, νοσημάτων πάντων ἀπολύτρωσιν, καὶ Θεοῦ βασιλείας οἰκείωσιν.

Θεοτοκίον.

Νοῦς ἀδυνατεῖ, καὶ πᾶσα διάνοια, ἰλλιγιᾷ γηγενῶν, Σὲ τὴν ὑπερέχουσαν, καὶ τοὺς Ἀγγέλους ἐν ἁγιότητι, καὶ Σεραφεὶμ ἐπέκεινα, καὶ Χερουβεὶμ ἀνυμνεῖν, Παναγία· ὅθεν εὐφημοῦντες Σε, τοῦ Ἀγγέλου τὸ χαῖρε κραυγάζομεν.

Ἐξαποστειλάριον. Ἦχος γ'. Ἐν Πνεύματι τῷ ἱερῷ.

Οὐκ ἔδωκας ὕπνον ποτέ, Νήφων τοῖς ὀφθαλμοῖς σου, οὐδὲ βλεφάροις νυσταγμόν, ἀλλὰ νήψας ἐν πᾶσι κραυγάζεις ἐκ τῆς ὁδοῦ μέν, ἔξεστιν ἀναύπασιν, ἐκ

νήψεως οὐδαμῶς δέ, διὰ τοῦτο ἑορτήν, συστησάμενοι τερπνῶς, σὴν ἑορτάζομεν μνήμην.

Ἕτερον. Φῶς ἀναλλοίωτον Λόγε.

Σὲ πρέσβυν τε καὶ μεσίτην, Νήφων θεσπέσιε θῦτα, κεκτήμεθα θεοφόρε, μονάζοντες οἱ ἐν Ἄθῳ, πρέσβευε οὖν τῷ Κυρίῳ, ὑπὲρ τῶν τέκνων σου Πάτερ.

Θεοτοκίον. Ὅμοιον.

Παντάνασσα Παναγία, Θεοκυῆτορ Παρθένε, σὺν Νήφωνι τῷ Ὁσίῳ, ἱκέτευε τὸν Υἱόν Σου, ὑπὲρ ἡμῶν τῶν Σῶν δούλων, ἵνα ρυσθῶμεν γεένης, καὶ πάσης ἄλλης βασάνου.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὅλος ἐκ νεότητος, ἀνατεθεὶς τῷ Κυρίῳ, κοσμικὴν ἐμίσησας, καὶ σοφῶς ἐξέφυγες, ἡδυπάθειαν, καὶ προσεχώρησας, καὶ κατεσκήνωσας, τῆς ἁγνείας παλάτιον, Ἄθω τὸν ἔνθεον, ἔνθα δὴ ἀσκήσας ὡς ἄριστα, δοχεῖον καθαρώτατον, ὤφθης τῆς Τριάδος πανάριστε· ὅθεν σου τὴν θεῖαν, τελοῦμεν ἑορτὴν χαρμονικῶς, καὶ ἐπαξίως γεραίρομεν, Νήφων ἱερώτατε.

Ποίους ὕμνους πλέξω σοι; ποῖα προσοίσω νῦν Πάτερ; λιγυρά τε ἄσματα καὶ ἐφύμνια; τοῦ λαμπροῦ βίου σου, ἐπαινῶν Ὅσιε, σοῦ τὰ θεῖα ἐτέλεσας, τὸ σῶμα κατατρύχων σου, νηστείαις ἀγρυπνίαις καὶ δάκρυσι· ὢ τῆς σῆς ἀγάπης! καὶ ξένης καρτερίας ἀληθῶς, ἧς ἐπεδείξω δι' ἔρωτα, θεῖον παμμακάριστε.

Ἄνω τὸ πολίτευμα, τὸ τῆς ψυχῆς σου τρισμάκαρ, πρὸς Θεὸν κτησάμενος, καὶ μελέτην ἄπαυστον διὰ βίου σου, τὴν τέλους ὥραν, ἔχων ἐν καρδίᾳ, καὶ ἀεὶ ὡς ἐκπληττόμενος, ἐκ βάθους ἔστενες, δάκρυσιν ἀμέτροις διάβροχος, δι᾽ ὧν τῆς παρακλήσεως, νῦν τῆς ἀϊδίου ἐπέτυχες, βλέπων τε ἀμέσως, τὸ κάλλος τὸ ἀπόῤῥητον Θεοῦ, καὶ ταῖς ἐκεῖθεν λαμπρόμενος, θείαις ἐπιλάμψεσι.

Χάρις ἐκ τῶν ἔνδοθεν, τῶν τῆς ψυχῆς χαρισμάτων, καὶ πειθὼ σειρήνιος τῷ προσώπῳ σου, ἀεὶ καὶ τοῖς χείλεσιν ἀποκαθημένη, ὡς μαγνήτης πάντας, τοὺς προσβλέποντες σοι εἵλκυε, θαυμαστῶς Ὅσιε, βαθὸς ταπεινώσεως πάντοτε, καὶ ἄκρον ἱλαρώτατος, οἷς κατεκοσμήθης θαυμάσει, ὡς ἄγαλμα θεῖον, καὶ ἔμπνους ἀνδρείας παρὰ Θεοῦ, οἱ ἐπαξίως ἐδόξαζον, τὸν σὲ μεγαλύναντα.

Δόξα. Ἦχος β΄.

Τὸν ἐπὶ γῆς Ἄγγελον, καὶ ἐν οὐρανοῖς ἄνθρωπον Θεοῦ, τοῦ Ἄθω τὸ θεῖον ἄνθος, τὸν ἐν αὐτῷ ἐξασκήσαντα, μοναστῶν τὸ καύχημα, Νήφωνα τὸν θεῖον τιμήσωμεν· πεφυτευμένος γὰρ ἐν τῷ κήπῳ τῆς ἁγνῆς Θεόπαιδος Παρθένου, ἐξήνθησεν ὡς φοῖνιξ, καὶ ὡσεὶ κέδρος τοῦ Λιβάνου, ἐπλήθυνε τὰς ἀρετὰς ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, αἰτούμενος καὶ πρεσβεύων μετὰ Μαξίμου τοῦ συσκήνου, δωρηθῆναι εἰρήνην τῷ κόσμῳ παντί, καὶ ἄφεσιν πταισμάτων, καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, ὦ Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά καί εἰς τοὺς Μακαρισμοὺς ἡ γ΄ καὶ στ΄ ᾠδὴ τοῦ Κανόνος τοῦ Ἁγίου.

Ἀπόστολος καὶ Εὐαγγέλιον Ὁσιακά.

Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον…

Μεγαλυνάρια.

Χαίροις ὁ τῆς νήψεως φρυκτωρὸς, καὶ τῶν ἰαμάτων ὁ ἀστείρευτος ποταμός, Νήφων θεοφόρε, τοῖς εὐλαβῶς τελοῦσιν, τὴν μνήμην σου παράσχου, νήψεως νάματα.

Τῆς Ἠπείρου χαῖρε θεῖε βλαστέ, πόλεως Λουκώβης, πολυτίμητε θησαυρέ, Ἄθω δὲ τοῦ ὄρους, φρουρὲ Νήφων θεόφρον, καὶ Καυσοκαλυβίων σκήτεως ἔρεισμα.

Χαίροις Ἐκκλησίας θεῖος λαμπτήρ, καὶ τῶν μοναζόντων ἑτοιμότατος ἀρωγός· χαίροις θείας δόξης, ὁ μέτοχος καὶ μύστης, τῶν ἱερῶν θαυμάτων, ὦ Νήφων ἔνδοξε.

Εἰ βούλει, εἰς τό Κοινωνικόν, ψάλλε τὰ κάτωθι ἐγκώμια, ποιήματα Γεροντίσσης Ἰσιδώρας Ἁγιεροθεϊτίσσης, ὧν ἡ ἀκροστιχίς: *Χαῖρε Νήφων μακάριε. Ἰσιδώρας μοναχῆς.*

Ἦχος γ᾽. Ἀκατάληπτον ἐστί.

Ἀκατάληπτον ἐσίν, πῶς οἱ Ὅσιοι ἐν γῇ, ἠμιλλῶντο οὐρανοῦ, τοὺς ἀγγελικοὺς χορούς.

Χαῖρε Νήφων ἱερέ, Ἄθωνος ὁ θαυμασμός, Καυσοκαλυβίων δέ, Σκήτεως περιωπή.

Ἀρνησίκοσμος φανείς, καὶ σπηλαίων οἰκιστής, Νήφων δός μοι σαῖς εὐχαῖς, κόσμου φεύγειν τὰ τερπνά.

Ἰσχυρότητι πυγμῆς, καὶ δυνάμει σου πολλῇ, Νήφων ἔῤῥιψας εἰς γῆν, τὸν ἀνίσχυρον ἐχθρόν.

Ῥείθροις θείων σου κλαυθμῶν, καὶ δακρύων σου κρουνοῖς,
ἤρδευσας ἐρήμου γῆν, Νήφων Πάτερ δαψιλῶς.

Ἑτοιμάσας σεαυτόν, εἰς ὑπάντησιν Χριστοῦ, Νήφων ἔφυγες μακράν, ἀπὸ τύρβης κοσμικῆς.

Νῆφε ἀποστολικῶς, Νήφων ἔλεγες ἀεί, ἔλαιον τῆς προσευχῆς, ἐν πληρότητι ὀφθείς.

Ἡδονὰς τὰς χαμερπεῖς, ἀπηρνήθης νουνεχῶς, Νήφων στέρξας τὸν Χριστόν, τὴν πηγὴν τῶν ἀγαθῶν.

Φύλαξ θείων ἐντολῶν, καὶ ἁγίων προσταγῶν, ὤφθης Νήφων πληρωτής, ἐν ταυτότητι ψυχῆς.

Ὡς καλὴ περιστερά, ἔπηξας σὴν καλιάν, ἐν καλύβῃ πενιχρᾷ, Νήφων ὄρους ὑψηλοῦ.

Νάματα ζωοποιά, τῆς ἀμπέλου ὡς βλαστός, Νήφων ἔβλυσας καλῶς, ἐν ἀσκήσεως ληνοῖς.

Μάξιμον τὸν ἱερόν, Ἄθωνος τὸν ἀσκητήν, Καυσοκαλυβίων δρῦν, ἔσχες Νήφων ὁδηγόν.

Ἄνερ ἐπιθυμιῶν, θείων καὶ πνευματικῶν, Νήφων δός μοι τὴν Ἐδέμ, τὴν οὐράνιον ποθεῖν.

Κέδρος ὥσπερ ὑψηλή, ἐν ταῖς Ἄθωνος αὐλαῖς, ἐπληθύνθης ἐν Θεῷ, Νήφων Πάτερ πολλαπλῶς.

Ἁγιότητι ζωῆς, καὶ ἁγνεύοντι νοΐ, τῷ Ἁγίῳ σου Πατρί, Νήφων ἔστης καθαρός.

Ῥάβδῳ Νήφων εὐσταθεῖ, ἐπορεύθης ἀκλινῶς, τῆς ἀσκήσεως ὁδόν, τὴν τραχεῖαν καὶ στενήν.

Ἰδιότητι ψυχῆς, καὶ ταυτότητι ζωῆς, Νήφων Ἄγγελος ἐν γῇ, ἐγνωρίσθης ἀληθῶς.

Ἕνα ἔσχες λογισμόν, ἕνα πόθον διαρκῆ, εὑρεθῆναι ἀρεστός, Νήφων Πάτερ τῷ Θεῷ.

Ἴχνεσι τῶν Ἀσκητῶν, καὶ Ὁσίων πορευθείς, τούτων δόξαν καὶ τιμὴν, Νήφων ἔσχες εὐκλεῶς.

Σκεῦος ὤφθης ἐκλογῆς, Νήφων πάνυ εὐαγές, καὶ δοχεῖον ἐκλεκτόν, τῶν ἀΰλων δωρεῶν.

Ἴδιον ἐπὶ τῆς γῆς, οὐκ ἀπέκτησας οὐδέν, ἄνω εἰς τὸν οὐρανόν, Νήφων θεὶς σὸν λογισμόν.

Δένδρον ὤφθης εὐθαλές, Νήφων τῆς Ἠπείρου γῆς, Ἄθωνος γλυκὺς καρπός, τῆς Ἐδέμ τε θερισμός.

Ὡραιότητι ψυχῆς, καὶ κοσμίᾳ σου ζωῇ, Νήφων ἥρμοσαι Θεῷ, τῷ ἐν κάλλει θαυμαστῷ.

Ῥαθυμίας νυσταγμόν, ἀπεβάλου παντελῶς, ὡς τῆς νήψεως λαμπάς, Νήφων Πάτερ φωτεινή.

Αἴσθησιν τῆς σῆς ψυχῆς, ἀπεκάθηρας ἁγνῶς, καὶ καρδίας ὀφθαλμούς, Νήφων ἤνοιξας Θεῷ.

Σέβας τῶν Ἀθωνιτῶν, σέμνωμα ἐκκλησιῶν, Καυσοκαλυβίων γῆς, Νήφων γέγονας λιμήν.

Μυροβόλου σου ζωῆς, τὴν ὑπέρτιμον πνοήν, αὔραις θείων νῦν ᾠδῶν, Νήφων Πάτερ ὑπαντῶ.

Ὄρθρος ὡς θεοφεγγής, ἐξανέτειλας ἐν γῇ, Νήφων Πάτερ τῆς ζωῆς, τὴν αὐγὴν πιστοποιῶν.

Νεύσει σου πρὸς οὐρανόν, Νήφων ἔβλεπες ἀεί, κατοπτεύων τὰ ἐκεῖ, κάλλη ἐνθεαστικῶς.

Ἅπας κόσμος ὁ φθαρτός, ἐλογίσθη ὡς χοῦς, καὶ ἀράχνιος ἱστός, Νήφων σέβω εὐλαβῶς.

Ἡδυνθείῃ τῷ Θεῷ, ἡ ἐμὴ διαλογή, Νήφων ἐν χαρᾷ τερπνῇ, οὐκ ἐπαύσω μελῳδεῖν.

Σεραφὶμ καὶ Χερουβίμ, καὶ ταῖς ἄλλαις στρατιαῖς, τῶν Ἀγγέλων συνῳδά, Νήφων ᾄδεις τῷ Θεω.

Χαίροις Νήφων θαυμαστέ, τῶν Ὁσίων χαρμονή, Ἀσκητῶν περιωπή, τῶν Ἀθωνιτῶν τιμή.

Δόξα. Τριαδικόν.

Σὲ Μονὰς Τριαδική, Πάτερ Λόγε καὶ Υἱέ, Πνεῦμα τε ἰσοσθενές, ὡς Θεὸν συμπροσκυνῶ.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ ὤφθης ἀψευδής, καὶ Παρθένος ἀληθής, Θεοτόκε Μαριάμ, ὡς ἁγνὴ ἐν γυναιξίν.